---

ἐν μὲν συσσίτοισιν ἀνὴρ πεπνυμένος εἶναι,
πάντα δέ μιν λήθειν ὡς ἀπεόντα δοκοῖ,
εἰς δὲ φέροι τὰ γελοῖα· θύρηφι δὲ καρτερὸς εἴη,
γινώσκων ὀργὴν ἥντιν' ἕκαστος ἔχει.

---

ἐν μὲν μαινομένοις μάλα μαίνομαι, ἐν δὲ δικαίοις
πάντων ἀνθρώπων εἰμὶ δικαιότατος.

(Solonis, fr. 15)

πολλοί τοι πλουτοῦσι κακοί, ἀγαθοὶ δὲ πένονται·
ἀλλ' ἡμεῖς τούτοις οὐ διαμειψόμεθα
τῆς ἀρετῆς τὸν πλοῦτον, ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεί,
χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

(Theognidis)

Κύρν', ἀγαθὸς μὲν ἀνὴρ γνώμην ἔχει ἔμπεδον αἰεί,
τολμᾶι δ' ἔν τε κακοῖς κείμενος ἔν τ' ἀγαθοῖς·
εἰ δὲ θεὸς κακῶι ἀνδρὶ βίον καὶ πλοῦτον ὀπάσσηι,
ἀφραίνων κακίην οὐ δύναται κατέχειν.

(Theognidis)

μήποτ' ἐπὶ σμικρᾶι προφάσει φίλον ἄνδρ' ἀπολέσσαι
πειθόμενος χαλεπῆι Κύρνε διαβολίηι.
εἴ τις ἁμαρτωλῆισι φίλων ἐπὶ παντὶ χολοῖτο,
οὔποτ' ἂν ἀλλήλοις ἄρθμιοι οὐδὲ φίλοι

315-18 Stob. 3. 1. 8 (Θεόγνιδος); gnomol. cod. Par. 1168
319-22 Stob. 3. 37. 3